μέλλοντι διαμεῖναι μὴ ὀφειλόντων εἰκότως γενήσεται διὰ τοῦ πυρός. Καὶ διὰ τοῦτο κατὰ τὴν πίστιν ὑπόκειται τὸ τὸν κόσμον τελευταῖον διὰ πυρὸς καθαρθήσεσθαι, οὐ μόνον τῶν φθαρτῶν σωμάτων, ἀλλὰ καὶ τοῦ αἴσχους τοῦ τῷ κόσμῳ τούτῳ ἐπισυμβάντος ἐκ τῆς ἐπ' αὐτῷ κατοικήσεως τῶν ἁμαρτωλῶν. Καὶ τοῦτ' ἔστιν τὸ ἐν τῇ δευτέρᾳ Πέτρου λεγόμενον· „Οἱ γὰρ νῦν ὄντες οὐρανοὶ καὶ ἡ γῆ τῷ αὐτῷ λόγῳ ἀπετέθησαν, πυρὶ φυλαττόμενοι εἰς τὴν ἡμέραν τῆς κρίσεως“, διὰ τῶν οὐρανῶν οὐ τοῦ στερεώματος τούτου νοουμένου, ἐν ᾧ εἰσι τὰ ἄστρα, ἢ τὰ ἀπλανῆ, ἢ τὰ πλανώμενα, ἀλλὰ τῶν ἀερίων οὐρανῶν τούτων τῶν πλησιαζόντων τῇ γῇ.

Ἐπεὶ τοίνυν ἡ σωματικὴ κτίσις τελευταῖον τῇ τοῦ ἀνθρώπου καταστάσει συμβήσεται, οἱ δ' ἄνθρωποι οὐ μόνον τῆς φθορᾶς ἐλευθερωθήσονται, ἀλλὰ καὶ δόξαν ἐπενδύσονται, ὡς δῆλον ἐκ τῶν προειρημένων, δεήσει καὶ τὴν σωματικὴν κτίσιν λαμπρότητός τινος καὶ δόξης, ὡς αὐτῇ προσήκει, τυχεῖν. Ἐντεῦθέν ἐστι τὸ λεγόμενον ἐν τῷ εἰκοστῷ πρώτῳ τῆς Ἀποκαλύψεως· „Εἶδον τὸν οὐρανὸν καινὸν καὶ τὴν γῆν καινήν“· καὶ ἐν τῷ Ἡσαΐᾳ· „Ἐγὼ κτίσω οὐρανοὺς καινοὺς καὶ γῆν καινήν, καὶ οὐκ ἔσονται ἐν μνήμῃ τὰ πρότερον, καὶ οὐκ ἀναβήσονται ἐπὶ καρδίαν, ἀλλὰ χαρήσεσθε καὶ ἀγαλλιάσεσθε ἕως τοῦ αἰῶνος“. Ἀμήν.

Δόξα σοι, Κύριε, πάντων ἕνεκεν: —

# Résumé de la Somme théologique de saint Thomas d'Aquin.

## *PREMIERE PARTIE.*

### ΕΚ ΤΟΥ ΘΕΟΛΟΓΙΚΟΥ.*

#### *ΕΚ ΤΩΝ ΤΟΥ ΑΥΤΟΥ ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ ΤΙΝΕΣ*

Paris, 1278
f. 194

#### I. — Περὶ τῆς θείας διδασκαλίας.**

1. Ὅτι ἀναγκαία ἦν ἡ θεία διδασκαλία πρὸς τὴν τῶν ἀνθρώπων σωτηρίαν ὑπὲρ τὰς φυσικάς· πρῶτον, διότι ὁ ἄνθρωπος ἕνεκά του ἔστιν, ὑπερβαίνοντος τὴν ἀνθρωπίνην γνῶσιν· „ἅπερ ὀφθαλμὸς οὐκ εἶδε“, φησί, καὶ τὰ ἑξῆς· ἀνάγκη δὲ προεγνῶσθαι τὸ τέλος τοῖς πρὸς αὐτὸ ταττομένοις·

* A = Parisinus 1278, f. 194-287[r], copie autographe de Scholarios.

** Les chiffres romains des titres indiquent les questions, les chiffres arabes, les articles.

5 II Pet. 3, 7  15 Ap. 21, 1  16 Is. 65, 17, 18  34 I Cor. 2, 9

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἔπειτα, εἰ μὴ θεόθεν ἀπεκαλύπτετο τοιαύτη γνῶσις, ὀλίγοις ἄν, καὶ μόλις, καὶ σύμμικτον ἀπάτῃ περιεγίνετ' ἄν.

2. Ὅτι ἡ τοιαύτη διδασκαλία καὶ ἐπιστήμη ἐστίν, ὡς αἱ προϊοῦσαι ἐξ ἀρχῶν ἐγνωσμένων τῷ φωτὶ τῆς ὑπὲρ αὐτὰς ἐπιστήμης, οἷον ὡς ἡ ὀπτικὴ διὰ τῆς γεωμετρικῆς, οὐχ ὡς αἱ ἐξ ἀρχῶν ἐγνωσμένων τῷ φυσικῷ τοῦ νοῦ φωτί· πρόεισι γὰρ αὕτη ἐξ ἀρχῶν ἐγνωσμένων Θεῷ καὶ τοῖς μακαρίοις τῷ θείῳ φωτί.

3. Ὅτι καὶ μία, οὐ πλείους ἐστίν. Ἡ γὰρ ἑνότης τῆς ἐπιστήμης οὐ κατὰ τὴν ὕλην, ἀλλὰ κατὰ τὸ ἀντικείμενον θεωρεῖται· αὕτη δὲ ἀντικείμενον ἔχει τὰ θεόθεν ἀποκαλυπτά, εἰς ἕνα κοινὸν συνιόντα λόγον.

4. Ὅτι καὶ θεωρητική ἐστιν ἅμα καὶ πρακτική, ὡς καὶ ὁ Θεὸς μιᾷ ἐπιστήμῃ γινώσκει ἑαυτὸν καὶ ἃ ποιεῖ· μᾶλλον μέντοι θεωρητική ἐστιν, ὅτι προὐργιαίτερον περὶ τῶν θείων σκοπεῖ ἢ τῶν ἀνθρωπίνων πράξεων.

5. Ὅτι καὶ τοιαύτη οὖσα, ὅμως πασῶν ὑπέρκειται τῇ τε ἀξίᾳ τῆς ὕλης καὶ τῇ ἀκριβείᾳ τοῦ θείου φωτός, ἀπλανοῦς ὄντος, ἀφ' οὗ πρόεισιν, καὶ ὅτι τὸ πρακτικὸν τέλος αὐτῆς ἡ θεία ἐστὶ μακαριότης.

6. Ὅτι καὶ μάλιστα σοφία ἐστίν, διότι ταύτῃ τὴν τοῦ παντὸς καθόλου αἰτίαν σκοποῦμεν, ἥ ἐστιν ὁ Θεός· σοφὸς δὲ ἐν ἑκάστῳ γένει, ὁ τὴν ἀνωτάτην τούτου σκοπῶν αἰτίαν.

7. Ὅτι ὑποκείμενον αὐτῆς ὁ Θεός· πάντα γὰρ τὰ ἐν τῇ θείᾳ διδασκαλίᾳ πρὸς τὸν Θεὸν ἀνάγεται.

8. Ὅτι καὶ ἐπιχειρηματική ἐστιν, οὐχ ὡς ἀποδεικνῦσα τὰς ἀρχὰς αὐτῆς, ἀλλ' ὡς ἐξ αὐτῶν ἀποδεικνῦσα, τοὺς δὲ αὐτὰς ἀναιρεῖν πειρωμένους ἐλέγχουσα· αἱ γὰρ κατὰ τῆς ἀληθείας ἀποδείξεις ἐπιχειρήματα μόνον εἰσί, δυνάμενα λύεσθαι.

Ἰστέον δέ, ὅτι ὁ μὲν ἐκ τῶν θείων ῥητῶν τόπος δραστηριότατός ἐστιν· ὁ δὲ ἀπὸ λογισμῶν, εἰ μὲν πρὸς ἀπόδειξιν, τὸν μισθὸν τῆς πίστεως ἀναιρεῖ· πρὸς δὲ τὴν τῶν παραδεδομένων σαφήνειαν, ὅτε δεῖ, ἀναγκαῖος· ἡ γὰρ χάρις οὐκ ἀναιρεῖ τὴν φύσιν, ἀλλὰ τελειοῖ, καὶ διὰ τοῦτο οὐ φαῦλον, ἀλλὰ καὶ ἀναγκαῖον, εἰ ὁ φυσικὸς λόγος τῇ πίστει δουλεύοι, ὡς καὶ Παῦλος· | „Τοῦ γὰρ καὶ γένος ἐσμέν"· ἀλλὰ τοῖς μὲν τῶν ἔξω ὡς ἐνδόξοις, f. 194v ὅσα ἀληθείας ἅπτονται· ταῖς δὲ κανονικαῖς γραφαῖς ὡς ἀναγκαίοις χρηστέον.

9. Ὅτι καὶ μεταφοραῖς κέχρηται διὰ τὸ τὸν ἄνθρωπον φύσει διὰ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ διαβαίνειν, δεῖν δὲ αὐτοῦ προνοεῖν τὸν Θεὸν κατὰ τὴν αὐτοῦ τοῦ ἀνθρώπου φύσιν.

10. Εὔλογον δὲ καὶ διαφόροις τρόποις τὴν Γραφὴν ἐξηγεῖσθαι· ἱστορικῶς μέν, τὸ γράμμα ἐξηγουμένους· πνευματικῶς δέ, τὰ πράγματα,

---

31 *τοῦ* sic A   Act. 17, 28   36 Ici, note marginale de Scholarios: *Σημείωσαι περὶ τοῦ ποσαχῶς αἱ ἐξηγήσεις*



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ τοῦτο αὖ τριχῶς· τὰ μὲν ἐν τῇ Παλαιᾷ, ὡς τῶν καινῶν δι' αὐτῶν σημαινομένων ὥσπερ εἰκόνων, ἀλληγορικῶς· τὰ δὲ ὑπὸ Χριστοῦ λεχθέντα ἢ γεγονότα καὶ περὶ αὐτόν, ἢ ἠθικῶς, ὡς σημεῖα ὄντα ὧν ἡμεῖς ὀφείλομεν πράττειν, ἢ ἀναγωγικῶς, καθόσον εἰς τὴν αἰώνιον δόξαν ἄγουσιν. Οὐδὲν δὲ ἀπᾷδον, εἰ καθ' ἓν γράμμα πλείους ἔννοιαι εἶεν, διότι καὶ ὁ ποιητὴς τοῦ γράμματος Θεὸς ἅμα πάντα περιλαμβάνει τῷ ἑαυτοῦ νῷ· νοῦς δὲ τοῦ γράμματος, ὃν ὁ θεῖος σκοπεῖ νοῦς.

Πρῶτον περὶ αὐτοῦ τοῦ Θεοῦ, καὶ ἔτι πρότερον περὶ τῶν προσηκόντων τῇ θείᾳ οὐσίᾳ σκοπητέον.

# Traité de Dieu.

## II. — Περὶ τοῦ εἶναι τὸν Θεόν.

1. Ὅτι τὸ τὸν Θεὸν εἶναι καθ' ἑαυτὸ γνώριμόν ἐστιν, ὡς καὶ πᾶσα πρότασις ἡ τὸ κατηγορούμενον ἐν τῷ λόγῳ τοῦ ὑποκειμένου περιέχουσα, ὡς τό, ὁ ἄνθρωπος ζῷον ἐστίν. Ἀλλὰ διότι τὸ τί ἐστι τοῦ ὑποκειμένου καὶ κατηγορουμένου οὐκ ἔστιν ἡμῖν ἐγνωσμένον, οὐχ ὅσον καὶ πρὸς ἡμᾶς ἐστι γνώριμος καθ' αὑτήν, ὡς ἦν ἐν τῷ παραδείγματι.

2. Ὅτι καὶ ἀποδεικτόν ἐστιν, εἰ καὶ μὴ τὸν κυριώτερον τῆς ἀποδείξεως τρόπον, τὸν τοῦ διότι καὶ διὰ τῶν ἁπλῶς προτέρων γινόμενον, ἀλλὰ τὸν τοῦ ὅτι καὶ διὰ τῶν ὑστέρων καὶ αἰτιατῶν, ἃ ἡμῖν εἰσι γνώριμα ὅτι ἐκ τοῦ Θεοῦ εἰσίν· ἀνάγκη δὲ ἐπὶ πάντων τὴν αἰτίαν προϋφεστάναι, ἧς τὸ ἀποτέλεσμα ἤρτηται.

3. Ὅτι καὶ δείκνυται τὸ τὸν Θεὸν εἶναι· πρῶτον μὲν ἐκ τῶν κινουμένων, ὅτι ἢ πάντα ἐπ' ἄπειρον κινήσει κινούμενα, ἀλλ' ἀδύνατον· ἢ εἰ ἀνάγκη στῆναι, ἔσται τι πρώτως κινοῦν ἀκίνητον· τοῦτο δέ ἐστιν ὁ Θεός.

Δεύτερον, ἐκ τῶν αἰτίων, ὅτι εἰ μὴ εἴη τὸ πρῶτον αἴτιον, ὅ ἐστιν ὁ Θεός, παύσεται καὶ τὰ μεταξὺ πάντα ποιοῦντα καὶ τὰ ἐξ αὐτῶν γινόμενα· οὔτε ἐπ' ἄπειρον δεῖ προβαίνειν, δι' αὐτὸ τοῦτο τὸ δεῖν τοῖς τεταγμένοις αἰτίοις ποιητικοῖς τοῦ πρώτου ποιοῦντος καὶ πρὸς τὸ εἶναι αὐτὰ καὶ πρὸς τὸ ποιεῖν.

Τρίτον, ἐκ τοῦ δεῖν εἶναί τι μάλιστα ἀληθὲς καὶ μάλιστα ὄν, οὗ κατὰ τὴν μᾶλλον ἐγγύτητα ἢ ἀπόστασιν τὰ ἄλλα καὶ ἀληθείας καὶ οὐσίας μετέχειν, ἢ ἀπέχειν ὡδί φαμεν.

f. 195 Τέταρτον, ἐκ τοῦ | μὴ ἄν ποτε ἄλλως τὰς πολλὰς καὶ διαφόρους φύσεις τῶν ἐν τῷ κόσμῳ πραγμάτων εἰς μίαν συνιέναι τάξιν, οὐδὲ σπανίως, ἀλλ' ἀεί, ἢ ἐπί γε τὸ πλεῖστον, εἰ μὴ διοικήσει καὶ προνοίᾳ τοῦ πᾶσι καὶ ἑκάστοις τὸ τέλος ὁρίζοντος, ὑφ' οὗ δεῖ καὶ τὰς οὐσίας αὐτῶν γίνεσθαι.

---

13 Ce titre en rouge dans la marge A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Πέμπτον, ἐκ τοῦ τὰ ἀναγκαῖα, ἃ προδήλως τῶν ἐνδεχομένων διῄρηται, ἢ ἔχειν αἰτίαν, καὶ οὐκ ἐπ' ἄπειρον· οὐ γὰρ ἄπειρος ἡ αἰτία ἐν τοῖς ἀναγκαίοις· ἢ αὐτὰ καθ' αὐτὰ εἶναι ἀναγκαῖα, ὥστε ἑκατέρωθεν εἶναί τι δεῖν καθ' αὑτὸ ἀναγκαῖον, καὶ οὐχ ἑτέρωθεν ἔχον τὴν τοῦ εἶναι ἀνάγκην. Ἀλλ' αὐτὸ ὄν, τῆς τῶν ἄλλων ἀνάγκης αἴτιον, ὅπερ ἐστὶν ὁ Θεός.

## III.

Ὅτι καὶ ἀδύνατον περὶ Θεοῦ γνῶναι τὸ τί ἐστιν, οὕτως οὐδὲ τὸ πῶς ἔστι δύνατον θεωρεῖν, ἀλλὰ τὸ πῶς οὐκ ἔστιν, τουτέστι τίνα αὐτοῦ ἀποφάσκονται, ἤγουν σύνθεσις, κίνησις καὶ τὰ ὅμοια.

1. Ὅτι οὐκ ἔστι σῶμα ὁ Θεός· πᾶν γὰρ σῶμα κινούμενον κινεῖ· ὃ δὲ κινεῖ μὴ κινούμενος· καὶ ὅτι τὸ πρῶτον ὄν, οἷόν ἐστιν ὁ Θεός, ἀνάγκη ἐνεργείᾳ μόνον εἶναι, οὐ καὶ δυνάμει· τὸ δὲ σῶμα, δυνάμει· διαιρετὸν γάρ· καὶ ὅτι ὁ Θεὸς τῶν ὄντων τὸ τιμιώτατον, ὃ οὐδενὶ προσήκει σώματι, εἴπερ πᾶν οὐχ ἑαυτῷ ζῇ, ἀλλὰ ἄλλῳ τιμιωτέρῳ. Εἰ δὲ σωματικῶς αὐτῷ ἔνια ἀποδίδωσιν ἡ Γραφή, τοῦτο κατὰ μεταφοράν ἐστι καὶ ὁμοιότητα, ὡς πρότερον εἴρηται.

2. Ὅτι οὐ σύγκειται ἐξ ὕλης καὶ εἴδους· πᾶν γὰρ τοιοῦτον σῶμά ἐστιν· ὃ δὲ σῶμα οὐκ ἔστιν· καὶ ὅτι ἡ ὕλη ἀεὶ ἐν δυνάμει ἐστίν, ὃ δέ, εἰλικρινὴς ἐνέργεια· καὶ ὅτι ἐν τοῖς τοιούτοις τὸ εἶδος τιμιώτερον τῆς ὕλης, ἡ δέ, προτέρα τοῦ εἴδους τῷ χρόνῳ· ἐν δὲ τῷ Θεῷ οὐ δεῖ εἶναί τι ἀτιμότερον, ἢ ὕστερον.

3. Ὅτι οὐδὲ ἐξ οὐσίας εἴτουν φύσεως καὶ ὑποκειμένου σύγκειται, διὰ τὸ τὴν οὐσίαν καὶ τὸ ὑποκείμενον ἐν τοῖς τοιούτοις διαφέρειν· ἔχει γάρ τι ὁδὶ ἄνθρωπος, ὅπερ οὐ περιέχεται ἐν τῷ τῆς ἀνθρωπότητος λόγῳ, ἤγουν τασδὶ σάρκας, καὶ τήνδε ἰσχνότητα, ἢ μελανίαν· ἐν δὲ τῷ Θεῷ ταὐτὸν εἶναι τὸ ὑποκείμενον καὶ τὴν φύσιν πραγματικῶς, εἰ καὶ εἰδητικῶς διακρίνονται.

4. Ὅτι οὐδὲ ἐξ οὐσίας καὶ τοῦ εἶναι σύγκειται· ἕκαστον γάρ ἐστι κατὰ τὸ ἑαυτοῦ εἶναι· ὃ ἄρα οὐκ ἔστιν ἑαυτοῦ εἶναι οὐκ ἔστι καθ' ἑαυτὸ ἐξ ἀνάγκης εἶναι· ὁ δὲ Θεὸς καθ' ἑαυτό ἐστιν ἐξ ἀνάγκης εἶναι.

5. Ὅτι οὐδὲ ἐκ γένους καὶ διαφορᾶς, εἴ γε μηδὲ ἐν γένει ἐστίν· ἢ γὰρ ἐν συμβεβηκότος γένει, ἢ ἐν οὐσίας ἔσται· | ἑκάτερον δὲ ἀδύνατον. f. 195v Ἡ γὰρ οὐσία τὸ γένος οὐκ ἔστιν αὐτὸ τὸ εἶναι· ὁ δὲ Θεός ἐστι τὸ εἶναι αὐτοῦ. Ἔτι, τὸ ὑποκείμενον πρὸς τὸ συμβεβηκός, ὡς δύναμις ἔχει πρὸς ἐνέργειαν· τὸ γὰρ συμβεβηκὸς ὥσπερ τι εἶδός ἐστι, ποιοῦν ἐνεργείᾳ εἶναι τὸ ὑποκείμενον, ὅσον κατὰ τὸ συμβεβηκὸς εἶδος· ἐν δὲ τῷ Θεῷ οὐκ ἔστι τὸ δυνάμει.

---

11 **En marge dans A:** *ὅτι οὐκ ἔστι σῶμα ὁ Θεὸς ἢ ὅτι ....* **le reste est effacé**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

6. Ὅτι ἐντεῦθεν δῆλον, μηδὲ ἐξ ὑποκειμένου καὶ συμβεβηκότος συγκεῖσθαι τὸν Θεόν.

7. Ὅτι, ἐπεὶ οὔτε ποσότητός ἐστι σύνθεσις ἐν τῷ Θεῷ, οὔτε ὕλης καὶ εἴδους, οὐδὲ ἄλλη τις τῶν ἐν τοῖς συνθέτοις τῶν ὄντων θεωρουμένων, πάντη ἁπλοῦς ἐστιν· καὶ ὅτι πᾶν σύνθετον ὕστερόν ἐστι τῶν αὐτὸ συντιθέντων, ἤγουν ἐξ ὧν σύγκειται· καὶ ὅτι πᾶν σύνθετον αἰτίαν ἔχει, δι' ἣν συνέλθοι ἂν τὰ ἐν αὐτῷ διάφορα· καὶ ὅτι ἐν παντὶ συνθέτῳ δεῖ δύναμιν εἶναι καὶ ἐνέργειαν· καὶ ὅτι πᾶν τοιοῦτον οὐ δύναται κατηγορεῖσθαι τῶν ἐν αὐτῷ· εἰ γὰρ καὶ ἀὴρ τι μέρος ἀέρος, ὡς δὲ καὶ τῶν ἄλλων ἁπλῶν σωμάτων, ἀλλ' οὐ καὶ δίπηχυ τυχόν, ἢ ψυχρόν, ἢ φαιόν.

8. Ὅτι οὐδὲ μέρος συνθέτου τινός ἐστίν, διὰ τὸ μηδὲν μέρος τοῦ συνθέτου δύνασθαι εἶναι πρῶτον ἁπλῶς ἐν τοῖς οὖσιν, ὡς ὁ Θεὸς ἐστίν· οὐδὲ πρώτως ποιοῦν δύνασθαι εἶναι, ὡς ὁ Θεός ἐστιν.

## IV. — Περὶ τῆς αὐτοῦ τελειότητος.

1. Πρῶτον, ὅτι ἐστὶ τέλειος· τοσοῦτον γάρ ἐστι τέλειον, καθόσον ἐστὶν ἐνεργείᾳ τῷ τρόπῳ τῆς ἑαυτοῦ τελειότητος· ὁ δὲ Θεὸς ἔστι καθ' αὑτόν, πρῶτον ὂν ἐνεργείᾳ.

2. Ὅτι καὶ ἄκρως τέλειος, τὰς ἁπάντων τελειότητας ἐν ἑαυτῷ περιέχων, διὰ τὸ πᾶν ὅπερ ἂν εἴη τελειότητος ἐν τῷ ἀποτελέσματι ἀνάγκην εἶναι κἀν τῇ ποιητικῇ αἰτίᾳ τοῦτο εἶναι, καὶ διὰ τὸ τὸν Θεὸν ὑπάρχειν αὐτὸ τὸ εἶναι ὑφεστώς, τὰς δὲ πάντων τελειότητας εἰς τὴν τελειότητα τοῦ εἶναι ἀνήκειν· κατὰ γὰρ τὸ εἶναι τέλεια λέγεσθαι.

3. Ὅτι τὰ κτίσματα δυνατὸν ὡμοιῶσθαι αὐτῷ λέγεσθαι, ἀλλ' οὔτε ἐν τῷ αὐτῷ λόγῳ καὶ τρόπῳ τῆς εἰδικῆς κοινωνίας, οὔτε ἐν τῷ αὐτῷ λόγῳ μόνον, εἰ καὶ μὴ τρόπῳ, ὡς τὰ κατὰ τὸ μᾶλλον καὶ ἧττον λεγόμενα, οὔτε ὡς τὰ μὴ συνωνύμως ποιοῦντα, ἅπερ οὐδὲ τοῦ λόγου κοινωνεῖ, ἀλλ' ὡς κατά τινα ἀμυδρὰν ἀναλογίαν ἐξομοιούμενα· ὥσπερ τὰ ὄντα, κατὰ τὸ κοινὸν εἶναι, καθὸ πάντα κατὰ τὸ εἶναι ὡμοίωνται τῷ Θεῷ.

## V. — Περὶ τῆς αὐτοῦ ἀγαθότητος.

f. 196 Καὶ πρῶτον περὶ τοῦ ἀγαθοῦ ἁπλῶς.

1. Ὅτι ταὐτὸν πράγματι τὸ ὂν καὶ τὸ ἀγαθόν· ὁ γὰρ τοῦ ἀγαθοῦ λόγος ἐν τῷ ἐφετὸν εἶναι συνίσταται, εἴπερ ἀγαθόν, οὗ πάντα ἐφίενται· ἐφετὸν δὲ τὸ τέλειον, τέλειον δὲ ἕκαστον, ᾗ ἐνεργείᾳ ἐστίν, ὥστε ἕκαστον ἀγαθόν, ᾗ ἐνεργείᾳ ἐστίν. Τὸ δὲ εἶναι κατὰ τὸ ἐνεργεῖν ὑπάρχει παντί, ὥστε ᾗ

---

15 Ce titre, dans le texte et aussi, dans la marge, en rouge A 32 Ces mots, qui constituent le vrai titre de la question V, sont en rouge dans la marge, et en noir dans le texte A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἕκαστον ἀγαθόν, ταύτῃ καὶ ὄν. Λόγῳ δὲ ἢ εἰδητικῶς διακρίνονται, ὅτι πᾶν μὲν ὂν οὐχ ἁπλῶς λέγεται ὂν ἢ τέλειον, ἀλλὰ μόνον κατὰ τὸ οὐσιῶδες εἶναι, κατὰ δὲ τὰ προστιθέμενα, πῇ· τὸ δὲ ἀγαθὸν ἁπλῶς λέγεται, ὃ σημαίνει τὸ τέλειον.

2. Ὅτι ὑποκειμένου λόγου διαφέρειν αὐτά, πρότερον τῷ λόγῳ τὸ ὄν. Πρῶτον γὰρ ἐν τῇ τοῦ νοῦ προσβολῇ πίπτει, πρώτῳ αὐτῷ προσβάλλοντος· γνωστὸν γὰρ ἕκαστον, καθό ἐστιν ἐνεργείᾳ. Ὅθεν τὸ ὄν, πρῶτον ἀντικείμενον τοῦ νοῦ καὶ πρῶτον νοητόν, ὡς ὁ ψόφος πρῶτον τῶν ἀκουστῶν.

3. Ὅτι ὑποκειμένου τούτου, πᾶν ὂν ἀγαθόν ἐστιν· πᾶν γὰρ ὂν παρὰ τὸν Θεόν, κτίσμα Θεοῦ, καὶ ἀγαθὸν πάντως· ἔτι καὶ ἐνεργείᾳ ἐστὶ καὶ τρόπῳ τινὶ τέλειον πᾶν ὄν· τὸ γὰρ ἐνεργείᾳ εἶναι τελειότης τίς ἐστιν· ᾗ δὲ τέλειον, καὶ ἐφετόν ἐστι καὶ ἀγαθόν.

4. Ὅτι εἰς τὴν τελικὴν αἰτίαν ἀνάγεται ὁ τοῦ ἀγαθοῦ λόγος, προὔργου· ἑπομένως δέ, καὶ εἰς τὴν ποιητικήν. Ὁ γὰρ τοῦ τέλους λόγος, ὅς ἐστιν ἐν τῷ πάντα τοῦ ἀγαθοῦ ἐφίεσθαι, προϋποτίθησι τὴν ποιητικὴν αἰτίαν καὶ τὴν τελικήν, εἴπερ τὸ ἐν τῷ αἰτίῳ πρῶτον ἔσχατόν ἐστιν ἐν τῷ αἰτιατῷ.

5. Ὅτι ὁ τοῦ ἀγαθοῦ λόγος ἐν τρόπῳ καὶ εἴδει καὶ τάξει συνίσταται, ὅτι τὸ ἀγαθόν, τέλειον· τέλειον δέ, ᾧ μηδενὸς ἐνδεῖ κατὰ τὸ εἶδος καὶ τὰ πρὸς τοῦτο ζητούμενα, ἅ εἰσι τρόπος καὶ ἀριθμὸς καὶ ἡ πρός τι ῥοπή, ἤγουν τάξις.

6. Ὅτι τὸ ἀγαθὸν εἰς τὸ σεμνὸν καὶ χρήσιμον καὶ ἡδὺ διαιρεῖται, εἴπερ σεμνὸν μέν, οὗ καθ' ἑαυτὸ ἐφιέμεθα· χρήσιμον δέ, τὸ δι' οὗ ἐπὶ τὸ τέλος ἡ ἔφεσις φέρεται· ἡδὺ δέ, ἡ ἐν τῷ ἐφετῷ ἠρεμία ἤδη προσειλημμένῳ.

## VI. — Περὶ τῆς θείας νῦν ἀγαθότητος.

1. Ὅτι τῷ Θεῷ ἐξόχως τὸ ἀγαθῷ εἶναι ἁρμόζει, ὅτι καὶ τὸ τέλειον εἶναι καὶ ἐφετὸν αὐτοῦ ἐξόχως ἐστίν. Διὰ γὰρ τὸ πᾶν ποιοῦν ὅμοιον ἑαυτῷ ποιεῖν, πάντα ἐφίενται μετασχεῖν τῆς θείας ὁμοιότητος, ἔργα αὐτοῦ ὄντα.

2. Ὅτι ἔσχατόν ἐστιν ἀγαθὸν ἁπλῶς. Πᾶσαι γὰρ αἱ τελειότητες πηγάζουσιν ἐξ αὐτοῦ, οὐχ ὡς ἀπὸ συνωνύμου ποιοῦντος, ἀλλ' ὁμωνύμου ἀναλογικῶς, καὶ ὡς ἐξ ὑψηλοτάτης αἰτίας.

3. Ὅτι μόνος κατ' οὐσίαν ἀγαθός. Τριχῶς γάρ τι τέλειον καὶ ἀγαθόν· κατὰ τὸ ἑαυτοῦ εἶναι, κατὰ προσθήκην συμβεβηκότων, καὶ κατὰ τὸ ἑαυτοῦ τέλος, | οἷον πυρὸς τελειότης, πρώτη μὲν τὸ εἶναι κατὰ τὸ εἶδος· ἔπειτα f. 196v
ἐν θερμότητι καὶ κουφότητι καὶ τοῖς τοιούτοις· ἔπειτα τὸ ἐν τῷ ἰδίῳ ἠρεμεῖν τόπῳ. Αὕτη δὲ ἡ τριπλῆ τελειότης μόνῳ τῷ Θεῷ προσήκει· αὐτὸς

26 En marge dans A, à l'encre rouge: *Περὶ τῆς ἀγαθότητος τοῦ Θεοῦ*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γάρ ἐστιν ἡ οὐσία αὐτοῦ, καὶ τὰ ἄλλοις συμβεβηκότα αὐτῷ εἰσιν οὐσιώδη, καὶ αὐτός ἐστιν ἑαυτοῦ ἀγαθὸν καὶ τέλος.

4. Ὅτι καὶ τῇ θείᾳ ἀγαθότητι ἕκαστα ἀγαθά εἰσιν, ὡς πρώτῃ ποιητικῇ ἀρχῇ καὶ παραδειγματικῇ, οὐ γε μὴν δ' ἀλλὰ καὶ τῇ προσούσῃ αὐτοῖς ὁμοιότητι τῆς θείας ἀγαθότητος, τῇ εἰδικῇ, ἀφ' ἧς καὶ παρωνόμασται ἕκαστον.

## VII. — Περὶ τῆς θείας ἀπειρίας.

1. Ὅτι ἄπειρός ἐστιν ὁ Θεὸς οὐ τῇ τοῦ ποσοῦ ἀπειρίᾳ, τοῦ διῃρημένου, ἢ τοῦ συνεχοῦς· εἷς γὰρ ὁ Θεὸς καὶ ἀσώματος· ἀλλὰ ἀσωμάτῳ μεγέθει ἄπειρός ἐστιν, ἢ κατὰ δύναμιν, ἢ κατὰ τὴν τῆς ἰδίας φύσεως ἀγαθότητα ἢ τελειότητα. Ἀποφατικῶς οὖν ἐν τῷ Θεῷ τὸ ἄπειρον, ὅτι οὐδεὶς ὅρος ἢ πέρας τῆς αὐτοῦ τελειότητος.

Ἔτι, ὁ Θεὸς οὐκ ἔστιν ἔν τινι γένει, πάντων τῶν γενῶν τὰς τελειότητας περιέχων· τὸ δὲ τῇ ἑαυτοῦ φύσει πεπερασμένον πᾶν λόγῳ τινὸς γένους ὁρίζεται.

2. Ὅτι οὐδὲν ἄλλο ἄπειρον κατ' οὐσίαν· τὸ γὰρ ἄπειρον οὐ δύναται εἶναι ἐξ ἄλλης ἀρχῆς.

Ἔτι, οὔτε ἡ ὕλη ἄπειρος· ᾗ γάρ ἐστιν ἐνεργείᾳ, ὑπό τινος εἴδους ὁρίζεται· οὔτε τὸ εἶδος τὸ ἐν ὕλῃ· ὥρισται γὰρ καὶ αὐτὸ τῇ οἰκείᾳ ὕλῃ· οὔτε αἱ χωρισταὶ οὐσίαι· οἱ γὰρ ἄγγελοι, εἰ καὶ μὴ ὁρίζονται ὕλῃ, ἀλλ' οὐχ ἁπλῶς ἀόριστοι· τὸ γὰρ εἶναι αὐτοῖς οὐκ ἔστιν ἡ οὐσία αὐτῶν.

3. Ὅτι οὐδέν ἐστιν ἄπειρον μεγέθει· πᾶν γὰρ σῶμα ἐπιφάνειαν ἔχει· ἡ δέ, πέρας.

Ἔτι, οὔτε φυσικὸν δύναται εἶναι μέγεθος ἄπειρον· πεπέρασται γὰρ τῷ εἴδει καὶ τοῖς συμβεβηκόσι, καὶ ὡρισμένην κινεῖται κίνησιν· οὔτε μαθηματικόν· ἔν τινι γὰρ εἴδει ἐστίν, ὁποῖον ἂν μέγεθος φαντασθῶμεν· τὸ δὲ εἶδος, ἐν σχήματι· τὸ δὲ ὑπό τινος ἢ τινῶν ὅρων περιέχεται.

4. Ὅτι οὐδὲ τὸ κατ' ἀριθμὸν ἄπειρον ἐν τοῖς οὖσίν ἐστιν, εἴπερ πᾶς ἀριθμὸς μονάδι μετρεῖται, καὶ μονάδι ὥρισται, καὶ εἴπερ πᾶν κτιστὸν ἐν ὡρισμένῳ λογισμῷ τοῦ δημιουργοῦ περιέχεται. Δύναται μέντοι δυνάμει εἶναι πλῆθος ἄπειρον· ἕπεται γὰρ τῇ τοῦ μεγέθους διαιρέσει.

## VIII.

1. Ὅτι ἐν πᾶσιν ἔστιν ὁ Θεός· τὸ γὰρ εἶναι ἐστὶ τὸ μάλιστα πᾶσιν ὂν ἐνδοτάτω· ὃ δὲ αὐτό ἐστι, τὸ εἶναι κατ' οὐσίαν. Ἐφόσον ἄρα ἐστὶ τὰ

---

8 En marge, à l'encre rouge: *Περὶ τῆς ἀπειρίας αὐτοῦ* A. Des titres semblables en marge marquent, la plupart du temps, les questions qui suivent. Au lieu de l'adjectif *θείας*, on lit *αὐτοῦ*.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πράγματα, καὶ τὸν Θεὸν ἀνάγκη τούτοις παρεῖναι· καὶ ὅτι πᾶν τὸ ποιοῦν συνῆπται τῷ ἀμέσως ποιουμένῳ, καὶ ἅπτεται τῇ ἑαυτοῦ | δυνάμει, ὡς τὸ f. 197 κινοῦν τοῦ κινουμένου.

2. Ὅτι καὶ πανταχοῦ ἐστίν· πληροῖ γὰρ πάντα τόπον, εἰ καὶ μὴ ὡς σῶμα, ἀλλ' ὡς καὶ τοῖς τόποις τὸ εἶναι διδούς, καὶ πᾶσι μετὰ τοῦ εἶναι καὶ τὸ ἐνεργεῖν παρέχων καὶ τὸ δύνασθαι, οὐ μόνον δὲ ὡς αἰτία, ἀλλὰ καὶ ὡς τῆς ἐνεργείας αὐτῶν ἀντικείμενον, οἷον ὡς γνωστὸν τοῖς γινώσκουσι, καὶ ὡς ἐφετὸν τοῖς ἐφιεμένοις, ὅπερ ἐστὶ τῶν λογικῶν ἴδιον.

3. Ἔτι καὶ κατὰ δύναμιν αὐτοῦ, ὅτι αὐτῇ πάντα ὑποτέτακται· καὶ κατὰ παρουσίαν, ἢ αὐτῷ πάντα πάρεστι· καὶ κατ' οὐσίαν, τῷ αὐτὸν ἑκάστοις παρεῖναι ὡς αἴτιον τοῦ εἶναι, ᾗ πρότερον εἴρηται.

## IX. — Περὶ τῆς θείας ἀμεταβλησίας.

1-2. Ὅτι τὸ πρῶτον ὄν, ὅ ἐστιν ὁ Θεός, ἔστιν ἐνέργεια καθαρά, καὶ οὐδαμῶς ἐν δυνάμει· τὸ δὲ τοιοῦτον πάντῃ ἀμετάβλητον.

Καὶ ὅτι τοῖς κινουμένοις προσήκει τὸ κατά τι μὲν μένειν, κατά τι δὲ μεταβάλλειν· ὁ δέ, ἀκίνητος.

Καὶ ὅτι οὐδενὸς ἐφίεται ἔξω ἑαυτοῦ ὄντος, ὃ προσήκει τοῖς μεταβάλλουσιν· ἡ μέντοι κτίσις ἅπασα μεταβάλλει ἢ κατὰ δύναμιν, ἢ κατ' ἐνέργειαν, ἢ κατὰ συμβεβηκός, ἢ τοὐλάχιστον τόπῳ, ὡς οἱ ἄγγελοι καὶ τὰ οὐράνια σώματα.

## X. — Περὶ ἀϊδιότητος.

1. Ὅτι ἔστιν ἀϊδιότης· ὡς γὰρ τὰ ἁπλᾶ γινώσκεται διὰ τῶν συνθέτων, οὕτω καὶ ἡ ἀϊδιότης διὰ τοῦ χρόνου, ὃς μέτρον κινήσεως ἐστίν. Ἀναιρεθείσης γὰρ τῆς κινήσεως καὶ τοῦ ἐν ταύτῃ προτέρου καὶ ὑστέρου, δι' ὧν ὁ χρόνος, καὶ τεθέντος τοῦ ἀεὶ ὡσαύτως ἔχοντος, συνίσταται ἡ κατάληψις τῆς ἀϊδιότητος, ὅ ἐστιν ἔξω πάντῃ κινήσεως ἔχειν ἀεὶ ὁμοίως· οὔτε γὰρ ἀρχή ἐστιν ἢ τέλος, οὔτε τὸ ἐφεξῆς, ὅλης ὁμοῦ ὑφεστηκυίας αὐτῆς.

2. Ὅτι ἀΐδιος ὁ Θεός, εἴπερ καὶ ἀμετάβλητος· ὁ γὰρ τῆς ἀϊδιότητος λόγος τῷ ἀμεταβλήτῳ ἀκολουθεῖ, ὡς ὁ τοῦ χρόνου τῇ κινήσει σύνεστιν.

3. Ὅτι ἴδιον αὐτοῦ ἡ ἀϊδιότης. Εἴ τι γὰρ ἄλλο ἀΐδιον λέγεται, κατὰ μετοχὴν τοῦτο λέγεται, οὐ τῷ μὴ ἦρχθαι, ἀλλὰ ὡς μὴ φθαρησόμενον, ἢ ἀλλοιωθησόμενον, καὶ ὅλως τῇ διαρκείᾳ. Μόνος δὲ ὁ Θεὸς ἀμετάβλητος κυρίως καὶ ἀρχὴν οὐκ ἔχων.

4. Ὅτι αἰὼν καὶ χρόνος διενήνοχε τῷ τὸν μὲν εἶναι ἀεὶ ὁμοῦ ὅλον, τὸν δὲ χρόνον, οὔ· καὶ ὁ μὲν χρόνος, μέτρον κινήσεως. Ἡ δὲ ἀϊδιότης, τοῦ μένοντος· καὶ ἡ μὲν οὔτε ἀρχὴν οὔτε τέλος οἶδεν· τῷ δὲ καὶ ἄμφω πρόσεστιν.

5-6. Ὅτι αἰὼν μέσος ἐστὶν ἀϊδιότητος καὶ χρόνου· ἀρχὴν μὲν γὰρ ἔχει, τέλος δὲ οὔ. Καὶ οὐκ ἔχει μὲν τὸ πρότερον καὶ | ὕστερον, ὡς οὐδ' ἡ f. 197v

Ε.Υ.Δ της Κ.τ.Ω ΙΩΑΝΝΙΝΑ 2006

ἀϊδιότης· συνεζεῦχθαι μέντοι δύναται τούτοις, ὅτι τὰ ὁπωσοῦν μεταβλητὰ ἢ κινήσει, ὡς τὰ οὐράνια σώματα, ἢ προαιρέσει, ὡς οἱ ἄγγελοι, τῷ αἰῶνι μετροῦνται.

## XI. — Περὶ τῆς θείας ἑνότητος.

1. Ὅτι τὸ μὲν ἀντιστρέφον τῷ ὄντι ἓν οὐ προστίθησι τῷ ὄντι. Πᾶν γὰρ κατὰ τὴν αὐτοῦ οὐσίαν ἕν ἐστιν· ὃ δέ ἐστιν ἀρχὴ ἀριθμοῦ προστίθησιν· ἔστι γὰρ τῷ τοῦ ποσοῦ γένει οἰκεῖον.

2. Ὅτι ἀντίκειται τῷ πλήθει. Ὧν γὰρ οἱ λόγοι ἀντικείμενοι, καὶ αὐτά· ἐν τῷ λόγῳ δὲ τοῦ ἑνός, τὸ ἀδιαίρετον, ὡς τὸ διαιρετὸν ἐν τῷ τοῦ πλήθους. Ἀλλὰ τὸ ἕν, ὅ ἐστιν ἀρχὴ ἀριθμοῦ, οὐχ ὁμοίως, ἀλλ' ἀντίκειται τῷ πλήθει ὅ ἐστιν ἀριθμός, ὡς τὸ μέτρον τῷ μετρητῷ.

3. Ὅτι εἷς ἐστιν ὁ Θεός. Οὐ γὰρ οἷόν τε δύο εἶναι ἔσχατα ἀγαθά· τὸ γὰρ καθ' ὑπεροχὴν λεγόμενον ἐν ἑνὶ μόνῳ εὑρίσκεται.

Καὶ ὅτι ὁ Θεὸς τελειότατος· εἰ οὖν πλείους εἶεν θεοί, ἀνάγκη πλείω εἶναι τοιαῦτα τέλεια· ἀλλ' οὐχ οἷόν τε. Εἰ γὰρ οὐδενὶ τούτων ἐνδεῖ τινος τελειότητος, οὐδέ τι ἀτελὲς αὐτῷ μέμικται, ὃ ζητεῖται τελειωθῆναι ὥστε γενέσθαι καὶ αὐτὸ τέλειον, οὐκ ἔσται ᾧ ἀλλήλων διακριθήσονται.

Καὶ ὅτι τὸ ἑνὸς ὑποκειμένου ἀρκούντως γινόμενον, βέλτιόν ἐστι δι' ἑνὸς ἢ διὰ πλειόνων γίνεσθαι. Ἀλλ' ἡ ἐν τοῖς οὖσι τάξις, καθόσον ἐνεδέχετο, βελτίστη ἐστὶν διὰ τὸ τὴν δύναμιν τοῦ πρώτου ποιοῦντος οὐκ ἀπεῖναι τῆς ἑνούσης τοῖς πράγμασι πρὸς τὴν τελειότητα δυνάμεως. Ἀρκούντως δὲ πάντα τελειοῦνται ἀναγόμενα εἰς μίαν πρώτην ἀρχήν.

Καὶ ὅτι ἡ τῷ Θεὸς ὀνόματι σημαινομένη φύσις ἢ καθ' αὑτήν ἐστιν ἄτομος ἐν τούτῳ, ἢ καθ' ἕτερόν τι· εἰ καθ' ἕτερον, ἀνάγκη σύνθεσιν εἶναι ἐκεῖ· εἰ καθ' αὑτήν, ἀδύνατον ἑτέρῳ ἁρμόζειν· ὃ γάρ ἐστιν ἀρχὴ τοῦ ποιεῖν ἄτομον οὐ δύναται πλειόσιν εἶναι κοινόν. Καὶ οὕτως ἀδύνατον εἶναι πλείους θεούς.

4. Ὅτι καὶ μάλιστα εἷς ἐστιν ὁ Θεός, μάλιστά τε ἀδιαίρετος ὤν, οὔτε δυνάμει οὔτε ἐνεργείᾳ τὸ διαιρεῖσθαι ἔχων ὡς διὰ πάντων ἁπλοῦς ὤν, καὶ μάλιστα ὤν. Οὐ γὰρ ὡρισμένον ἔχει τὸ εἶναι διά τινα φύσιν ἐπιοῦσαν αὐτῷ, ἀλλ' ἔστιν αὐτοεῖναι ὑφεστώς, πᾶσι τρόποις ἀπεριόριστον.

## XII. — Περὶ τοῦ ὅπως ὑπὸ τῶν κτισμάτων γινώσκεται.

1. Ὅτι ὁ κτιστὸς νοῦς δύναται τὴν θείαν οὐσίαν ὁρᾶν, εἴπερ ἀδύνατον μάτην εἶναι τὴν φυσικὴν ἔφεσιν.

---

34 *ἀδύνατον*: Scholarios souligne ce mot, et ajoute au bas de la page: *εἰ μὴ ὁρᾷ τὸν Θεόν, ἢ οὐδέποτε ἔσται μακάριος, ἢ ἐν ἄλλῳ παρὰ τὸν Θεὸν ἡ ἀνθρωπίνη μακαριότης, ὃ τῆς πίστεως ἀλλότριον.*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

2. Οὐ μὴν ἔν τινι κτιστῷ εἴδει, ἀλλ' αὐτὴν δι' ἑαυτῆς· δυνατὸν γὰρ τὴν θείαν οὐσίαν | πρὸς τὸν κτιστὸν νοῦν παραβάλλεσθαι ὥσπερ εἶδος f. 198 νοητόν, ᾧ νοεῖ, ὅπερ οὐδεμιᾷ ἄλλῃ συμβαίνει οὐσίᾳ χωριστῇ. Αὕτη γὰρ μόνη οὐ δύναται εἶναι εἶδος ἑτέρου τινὸς πράγματος κατὰ τὸ φυσικὸν εἶναι, ἀλλὰ μόνον ὡς νοητὸν εἶδος ἡνωμένη τῷ νῷ τελειοῖ αὐτόν. Οὐχ ἥνωται αὐτῷ πρὸς τὸ μίαν εἶναι φύσιν· οὐ μέντοι διὰ κτιστοῦ εἴδους δύναται τὴν θείαν οὐσίαν ὁρᾶν· τὴν γὰρ νοητὴν ὁμοιότητα, δι' ἧς τι γινώσκεται κατ' οὐσίαν, ἀνάγκη τὴν αὐτὴν εἶναι τῷ εἴδει τῷ γνωστῷ, ἢ μᾶλλον ἐκείνου εἶδος. Οὐ γὰρ διὰ τοῦ ἀνθρωπίνου εἴδους νοεῖται περὶ τοῦ ὄνου τί ἐστιν. Ἀλλ' αὐτὴ τῆς χωριστῆς οὐσίας ἡ φύσις οὐκ ἔστιν ἡ αὐτὴ τῷ εἴδει τῇ θείᾳ φύσει, οὐδὲ τῷ γένει· οὐκ ἄρα δι' ἑαυτῆς ταύτην νοεῖ.

Καὶ ὅτι πᾶν κτιστὸν γένει τινὶ ἢ εἴδει ὁρίζεται· ἡ δὲ θεία οὐσία, ἄπειρος, πᾶσαν τοῦ εἶναι περιέχουσα τελειότητα.

Καὶ ὅτι πᾶν νοητὸν εἶδος, δι' οὗ ἡ τινὸς οὐσία γινώσκεται, περιέχει ἐκεῖνο κατὰ τὸ παριστάνειν αὐτό· ἀδύνατον δὲ κτιστήν τινα ὁμοιότητα οὕτω τὸν Θεὸν παριστάνειν.

4. Ὅτι ἡ κτιστὴ φύσις ἡ λογικὴ ὁρᾷ τὸν Θεὸν οὐ τῇ ἑαυτῆς φυσικῇ δυνάμει, ἀλλὰ τῇ ἐκ Θεοῦ χάριτι, πρὸς ἣν ἀνάγεται μόνην ἡ τοιαύτη τῶν κτισμάτων ἀναγωγή, ὡς ὁ Κύριός φησιν· „Ἐγὼ ἐμφανίσω αὐτῷ ἐμαυτόν". Ὁ γὰρ τῆς ὑψηλοτέρας φύσεώς ἐστιν ἴδιον οὐ δύναται τούτου τυχεῖν ἡ ταπεινοτέρα, μὴ ἐκείνης εἰς αὐτὴν ἐνεργούσης, ὥσπερ τὸ ὕδωρ οὐ δύναται εἶναι θερμόν, εἰ μὴ τῇ πυρὸς ἐνεργείᾳ. Τὸ δὲ τὸν Θεὸν ὁρᾶν διὰ τῆς αὐτοῦ οὐσίας αὐτοῦ τοῦ Θεοῦ ἴδιόν ἐστιν, ὥστε αὐτοῦ τοῦτο ποιοῦντος μόνου, καὶ ἡ κτιστὴ οὐσία ὁρᾶν αὐτὸν δύναται.

3. Ὅτι οὐκ αἰσθήσει ὁρᾶται ὁ Θεός· ἀσώματος γάρ· αἰσθήσει δὲ ὑποπίπτει τὸ σῶμα, εἴπερ τὸ γινωσκόμενον δεῖ ἐν τῷ γινώσκοντι εἶναι κατὰ τὸν τοῦ γινώσκοντος τρόπον.

5-6. Ὅτι ἄλλος ἄλλου τελειότερον τὸν Θεὸν ὁρᾷ· ἀρχὴ γὰρ τῆς τοιαύτης θεωρίας τὸ θεῖόν ἐστι φῶς, ὃ ἐνδυναμοῖ τὸν κτιστὸν νοῦν πρὸς τὴν θεωρίαν, ὑπερφυὲς ὄν· Δυνατὸν δὲ τῆς τοῦ φωτὸς τούτου μετοχῆς διαφόρους εἶναι βαθμούς.

7. Ὅτι οὐδεὶς κτιστὸς νοῦς περιληπτικῶς τὴν θείαν οὐσίαν ὁρᾷ. Ἐπειδὴ γὰρ πάσης ἐνεργείας ὁ τρόπος τῷ δραστηρίῳ τῆς ποιητικῆς αἰτίας ἀνάλογον ἔχει, τὸ δὲ προειρημένον φῶς τῇ δυνάμει καὶ τῇ δόξῃ πλεῖστον ἀποδεῖ τοῦ θείου νοῦ, ἀδύνατον δι' αὐτοῦ τελείως τὴν θείαν οὐσίαν ὁρᾶσθαι, ἀλλὰ μόνος | ὁ θεῖος νοῦς τελείως αὐτὴν ὁρᾷ. Τῆς γὰρ θείας οὐσίας ἡ f. 198v ἀλήθεια καὶ τοῦ θείου νοῦ ἡ λαμπρότης ἴσα εἰσίν· ἄλλως τε, εἰ καὶ ἡ θεία οὐσία εἶδος τοῦ κτιστοῦ γίνεται νοῦ, ἀλλ' οὐ δέχεται ταύτην κατὰ

19 Ioh. 14, 21

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πᾶσαν αὐτῆς τὴν δύναμιν. Οὐκ ἄρα τελείως αὐτὴν θεωρεῖ, καθόσον ἐστὶν ἁπλῶς θεωρητή.

8. Ὅτι ὁρῶν τὴν θείαν οὐσίαν ὁ νοῦς ὁ κτιστὸς οὕτως, ἐν αὐτῇ τὰ ἄλλα ὁρᾷ καὶ γινώσκει, οὐ μέντοι πάντα τὰ ἐν αὐτῇ ὁρᾶσθαι δυνάμενα. Οὐ γὰρ ὅλην περιλαμβάνει ὁ νοῦς, ἀλλὰ πάντα τὰ τῶν πραγμάτων γένη καὶ εἴδη καὶ δυνάμεις αὐτῶν καὶ τὴν ὅλην τοῦ παντὸς τάξιν. Καὶ ἐπεὶ τὰ καθ' ἓν εἶδος νοούμενα ὁμοῦ πάντα μιᾷ νοήσει νοοῦνται, ἀνάγκη τὸν τὴν θείαν οὐσίαν ὁρῶντα νοῦν οὐ μεταβατικῶς, ἀλλ' ὁμοῦ πάντα θεωρεῖν.

11. Ἐν δὲ τῇ παρούσῃ ζωῇ ἀδύνατον οὕτως ὁρᾶν τὸν Θεόν, ὅπου γε οὐδὲ τὰς χωριστὰς οὐσίας, καὶ κτιστὰς οὔσας, ἐνταῦθα νοεῖν δυνάμεθα· ὅθεν οὐδ' ἔστιν ἐν τῇ παρούσῃ ζωῇ ἡ ἐσχάτη τοῦ ἀνθρώπου εὐδαιμονία.

12-13. Ἔστι μέντοι γε τοῖς ἀνθρώποις ἐνταῦθα καὶ ὑπὲρ τὴν φυσικὴν γνῶσιν τοῦ λόγου ἄλλη διὰ τῆς χάριτος. Εἰ γὰρ καὶ μὴ δυνάμεθα τὴν θείαν οὐσίαν ὁρᾶν, ὡς ἀπὸ τῶν αἰσθητῶν μόνων γινώσκοντες, τῶν μὴ ὁριζόντων ὅλην τὴν θείαν δύναμιν, τοσοῦτον μόνον γινώσκοντες τῷ φυσικῷ τοῦ λόγου φωτὶ ὅτι ἔστι Θεός, ἀλλὰ τῷ τοιούτῳ φωτὶ τῆς ἐκ Θεοῦ χάριτος βοηθούσης καὶ τῇ διὰ τῶν φαντασμάτων γνώσει ἃ ἐκ τῶν αἰσθητῶν προσείληπται, καὶ πρὸς τὸ γινώσκειν ὑπερκείμενά τινα τελειούμεθα. Ῥώννυταί τε γὰρ τῷ φωτὶ τῆς χάριτος τὸ φυσικὸν φῶς, ὥστε ἐκεῖνα εἰδέναι τε καὶ νοεῖν δύνασθαι. Καὶ φαντάσματα θεόθεν ἐν τῇ διανοίᾳ τυποῦνται, ἐμφαντικώτερα τῶν ἐκ τῶν αἰσθητῶν εἰλημμένων, ὡς ἐκ τῶν προφητικῶν θεωριῶν δῆλον. Καὶ αἰσθητὰ δέ τινα πολλάκις τυποῦνται θεόθεν, ὡς τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς· καὶ φωναί, ὡς τὸ „οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός“.

## XIII. — Περὶ τῶν θείων ὀνομάτων.

1. Ὅτι δυνατὸν ἡμῖν ὀνομάζεσθαι τὸν Θεόν, ὡς καὶ γινώσκεται, τουτέστιν ἐκ τῶν κτισμάτων, τῷ εἶναι ἀρχὴν πάντων, καὶ ἀφαιρέσεως τρόπου καὶ ὑπεροχῆς.

2. Ὅτι τὰ περὶ Θεοῦ λεγόμενα αὐτὴν μὲν τὴν οὐσίαν σημαίνουσι τὴν θείαν καὶ οὐσιωδῶς αὐτοῦ κατηγοροῦνται, οὐ μὴν ἱκανοῦσι παριστάνειν αὐτόν· οἰκείως γὰρ τῇ ἡμετέρᾳ νυνὶ γνώσει τοῦτον δηλοῦσιν, τῇ ἀτελεῖ. Οὔτε δὲ ὡς ἀγαθότητος αἴτιος ἢ ὡς μὴ πονηρός, ἀγαθὸς λέγεται, τουτέστιν
f. 199 σχέσει ἢ ἀφαιρέσει, ἀλλ' ἀνάπαλιν, ὡς αὐτὸς ἀγαθὸς | ὢν φύσει καὶ προέχων καὶ ὑπερέχων πᾶσαν ἀγαθότητα, ἀγαθὸς λέγεται, ᾧ ἀκολουθεῖ τὸ καὶ τοῖς οὖσιν οἴκοθεν αὐτὸν ἐποχετεύειν τὴν ἀγαθότητα.

3. Ὅτι τὰ θεῖα ὀνόματα κατὰ μὲν τὰς τελειότητας αὐτῶν ἰδίως ἁρμόττουσι τῷ Θεῷ καὶ μᾶλλον ἢ τοῖς κτίσμασι· κατὰ δὲ τὸν τοῦ σημαί-

---

33 *λέγεται* corrigé de *λέγεσθαι* A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νειν τρόπον ἀνάπαλιν ἔχει· οὐκ εἰσὶ δὲ ταὐτοσήμαντα, εἰ καὶ ἓν σημαίνουσι πρᾶγμα, διὰ τὸ πολλοῖς καὶ διαφόροις λόγοις αὐτὸ σημαίνειν.

4-5. Ὅτι ταῦτα οὐ συνωνύμως τοῦ Θεοῦ καὶ τῶν κτισμάτων κατηγοροῦνται. Τὰ γὰρ ἀποτελέσματα, τῇ δυνάμει τῆς ποιητικῆς αἰτίας μὴ ἐξισούμενα, ἐνδεῶς τὴν ὁμοιότητα δέχεται, ὥστε τὸ ἐν τοῖς ἀποτελέσμασιν ὑλικῶς καὶ διῃρημένως ὂν ἁπλῶς καὶ ἀΰλως εἶναι ἐν τῇ αἰτίᾳ. Ἀλλ' οὐδὲ ὁμωνύμως ἄντικρυς· οὐδὲν γὰρ ἀπὸ τῶν κτισμάτων ἀπεδείκνυτ' ἂν οὕτω περὶ Θεοῦ. Ἀλλὰ ἀναλογικῶς· τοῦτο γάρ, μεταξὺ ἐκείνων, ὡς τὸ ὑγιεινὸν κατὰ τοῦ οὔρου, ἢ σημεῖον, καὶ κατὰ τοῦ φαρμάκου, ἢ αἴτιον.

6. Ὅτι τὰ μεταφορικὰ εἴτουν ἀναλογικὰ ὀνόματα κατὰ μὲν τὸ σημαινόμενον πρότερον ἐπὶ Θεοῦ λέγονται· κατὰ δὲ τὸν τοῦ σημαίνειν τρόπον, τῶν κτισμάτων· ἀδύνατον γὰρ ἐπὶ Θεοῦ ὁρισθῆναι αὐτά, εἰ μὴ διὰ τῶν κτισμάτων.

7. Ὅτι καὶ ἀπὸ χρόνου κατηγοροῦνται τοῦ Θεοῦ, οὐκ ἀϊδίως, ὅσα ἀναφορὰν αὐτοῦ πρὸς τὰ κτίσματα σημαίνει, διὰ τὴν τῆς κτίσεως μεταβολήν, οὐ τὴν τοῦ Θεοῦ, ὡς ὁ κίων γίνεται δεξιός, ἡμῶν, οὐκ αὐτοῦ μεθισταμένου. Ἐκεῖνα μὲν γὰρ πραγματικῶς ἀναφέρονται πρὸς τὸν Θεόν, αὐτὸς δὲ πρὸς αὐτὰ κατὰ λόγον μόνον.

8. Ὅτι τὸ Θεός ὄνομα, ἐνεργείας ὂν τῆς πάντ' ὁρώσης καὶ προνοούσης, πρὸς τὸ τὴν θείαν φύσιν σημαίνειν ἐπίκειται· ἀπό τινος γὰρ ἐνεργείας καὶ ἰδιότητος τὴν τοῦ πράγματος οὐσίαν παρονομάζομεν.

9. Ὅτι τὸ Θεός ὄνομα ἀκοινώνητον μέν ἐστι κατὰ πρᾶγμα, κοινὸν δὲ κατὰ δόξαν, ὡς τὸ ἥλιος ὄνομα τοῖς γε πολλοὺς ὑποτιθεμένοις ἡλίους κοινωνητόν ἐστι πλείοσιν, ἀληθῶς ἑνὸς ὄντος ἡλίου· κατὰ δέ τινα σημασίαν ἄλλην καὶ ὁμοιότητα ἐστὶ καὶ κοινὸν ἀληθῶς, ὡς τὸ „ἐγὼ εἶπα, θεοί ἐστε".

11. Ὅτι μάλιστα ἴδιον τοῦ Θεοῦ, τὸ ὢν ὄνομα. Οὐδὲν γὰρ ἄλλο εἶδος σημαίνει, ἀλλ' αὐτὸ τὸ εἶναι· τοῦ Θεοῦ δὲ ἡ οὐσία καὶ τὸ εἶναι ταὐτόν· καὶ ὅτι οὐδένα τρόπον ὁρίζει τοῦ εἶναι· ὁ δὲ Θεός, πέλαγος οἷόν τι οὐσίας ἄπειρον καὶ ἀόριστον· καὶ ὅτι προσημαίνει τὸ ἐν τῷ ἐνεστῶτι εἶναι· τοῦ Θεοῦ δὲ τὸ εἶναι οὐκ οἶδε τὸ παρελθὸν καὶ τὸ μέλλον.

## XIV. — Περὶ τῆς θείας ἐπιστήμης. f. 199v

1. Ὅτι ἐστὶν ἐν τῷ Θεῷ ἐπιστήμη. Ἔστι γὰρ ἐν τῷ ἐσχάτῳ τῆς ἀϋλότητος· καὶ ἐν τῷ ἐσχάτῳ ἄρα τῆς γνώσεως. Τὰ δὲ τὸ ἑαυτῶν εἶδος ἔχοντα μόνον, οἷα τὰ ὑλικά, οὐ δύνανται γινώσκειν. Τὸ δὲ γινῶσκον καὶ τὸ τοῦ γινωσκομένου εἶδος ἔχει. Οὐ μὴν ἐστιν ἕξις ἡ θεία ἐπιστήμη· τὰ γὰρ προσήκοντα τῷ ἀτελεῖ τῶν κτισμάτων τῆς θείας ἐκβάλλεται σημασίας.

2. Ὅτι καὶ μάλιστα ἐπίσταται καὶ νοεῖ ἑαυτόν, διότι ἄϋλός ἐστι πάντῃ καὶ ἑαυτῷ μάλιστα ἕν· τό τε γὰρ κεχωρισμένον τῆς ὕλης νοητὸν

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐστιν, ὡς κεχώρισται ἢ φύσει, ἢ ἀφαιρέσει· καὶ τὸ νοητὸν νοεῖται καθόσον ἓν γίνεται μετὰ τοῦ νοοῦντος.

4. Ὅτι τὸ νοεῖν τοῦ Θεοῦ ἐστιν ἡ οὐσία αὐτοῦ. Τὸ γὰρ νοεῖν, ἐνέργεια τοῦ νοοῦντος, ἐν αὐτῷ οὖσα, οὐκ εἰς ἄλλο τι τῶν ἔξω διαβαίνουσα, ὡς τὸ θερμαίνειν εἰς τὸ θερμαινόμενον διαβαίνει. Οὐδὲν γὰρ πάσχει τὸ νοητόν, ᾗ νοεῖται, ἀλλ' ὁ νοῶν τελειοῦται· ὃ δέ ἐστιν ἐν τῷ Θεῷ ἡ οὐσία ἐστὶν αὐτοῦ διὰ τὴν ἄκραν ἑνότητα καὶ ἁπλότητα.

5. Ὅτι νοεῖ καὶ τὰ ἕτερα ἑαυτοῦ· πληρέστατα γὰρ νοῶν τὴν οὐσίαν αὐτοῦ, καὶ ὧν ἐστιν αἰτία αὕτη, γινώσκει ταῦτα· καὶ ὅτι ἡ τῶν ποιημάτων ὁμοιότης ἐστὶν ἐν αὐτῷ νοητῶς, καὶ κατὰ τὸν τοῦ ἐν ᾧ ἐστι τρόπον· ὃ δὲ ἔν τινι νοητῶς ἐστιν οὐχ οἷόν τε μὴ ὑπ' ἐκείνου νοεῖσθαι.

6. Ὅτι νοεῖ αὐτὰ καὶ ἰδίως ᾗ διακέκρινται ἀλλήλων. Γινώσκει γὰρ οὐ μόνον τὴν οὐσίαν αὐτῶν, ἀλλὰ καὶ τὰ συμβεβηκότα ἐν οἷς ἐστι, καὶ τὸ πλῆθος αὐτῶν· πλῆθος δὲ ἄνευ διακρίσεως νοεῖσθαι ἀδύνατον.

7. Ὅτι οὐκ ἔστι μεταβατικὴ ἡ γνῶσις αὐτοῦ· οὔτε κατὰ τὸ ἐφεξῆς· ἐν ἑνὶ γὰρ ὁρᾷ πάντα τῇ αὐτοῦ οὐσίᾳ· οὔτε κατ' αἰτίαν, ἤγουν διὰ τῶν ἀρχῶν ἐπὶ τὰ συμπεράσματα· αὕτη γὰρ ἐκείνην προϋποτίθησιν ἡ γνῶσις, καὶ ὅτι αὕτη ἐπὶ τὸ ἧττον γνώριμον ἀπὸ τοῦ μᾶλλον πρόεισιν· οὔτε κατὰ ἀνάλυσιν, ὡς τὸ πρᾶγμα ἐν τῇ ἰδίᾳ αἰτίᾳ ὁρᾶται· ἐν ἑαυτῷ γὰρ τὰ ἴδια βλέπει ἀποτελέσματα.

8. Ὅτι αἰτία τῶν ὄντων ἡ τοῦ Θεοῦ ἐπιστήμη, καθόσον ἔχει θέλησιν συνημμένην. Ὅσα δὲ ἄνευ συνημμένης βουλήσεως οἶδεν ὁ Θεός, ἐξ ἧς ῥοπή τις ἐστὶ πρὸς τὸ ἀποτέλεσμα, ὡς καὶ ἐπὶ τῶν ἀνθρώπων τῶν τεχνιτῶν ἔχει, τούτοις οὐκ ἔστιν αἴτιος τοῦ εἶναι.

9. Ὅτι καὶ τὰ μὴ ὄντα ἐπίσταται. Πᾶς γὰρ τεχνίτης ἔχει τινὰ εἴδη γινωσκόμενα αὐτῷ, ἃ οὔπω προήγαγε κατὰ τὴν αὐτοῦ τέχνην. Καὶ ὅτι τὸ νοεῖν τοῦ Θεοῦ ἐστι τὸ εἶναι αὐτοῦ, καὶ δι' αὐτὸ ἀϊδιότητι μετρεῖται, δι' ἧς πάντα ἐστὶν ἐνεστῶτα.

f. 200 10. Ὅτι καὶ τὰ κακὰ γινώσκει. Γινώσκει γὰρ | τὰ ἀγαθὰ τὰ μερικά, οἷς τὰ κακὰ ἀντίκειται· τῶν δὲ ἀντικειμένων ἡ αὐτὴ γνῶσις. Καὶ ὅτι, εἰ ἐν τῷ Θεῷ πάντες οἱ τοῦ ἀγαθοῦ λόγοι, καὶ ὁ λόγος ἐστὶν ᾧ τὸ κακὸν γινώσκεται διὰ τὸ τοὺς λόγους τῶν ἐναντίων ἐν τῇ ψυχῇ μὴ εἶναι ἐναντίους. Καὶ ὅτι τῷ γινώσκειν ἑαυτὸν γινώσκων τὰ ὄντα ἐν οἷς καὶ αἱ στερήσεις, γινώσκει καὶ αὐτὰς καὶ τὰ τοῖς μερικοῖς ἀντικείμενα κακά. Οὐ μεταβατικῶς δὲ γινώσκει τὰ κακά, ἀλλὰ διὰ τῶν ἀγαθῶν, ὡς εἴρηται. Τὸ γὰρ ἀγαθὸν ὥσπερ τις λόγος ἐστὶ τοῦ κακοῦ, εἰ μηδὲν ἕτερόν ἐστι τὸ κακὸν ἢ τοῦ ἀγαθοῦ στέρησις.

11. Ὅτι τὰ μερικὰ γινώσκει. Πᾶσαι γὰρ αἱ ἐν τοῖς κτίσμασι τελειό-

---

13 *μόνον*: peut-être *μόνην*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τητες καθ' ὑπεροχὴν προϋφεστῶσιν ἐν τῷ Θεῷ· τὸ δὲ γινώσκειν τὰ μερικὰ τελειότης τίς ἐστιν ἐν ἡμῖν. Καὶ ὅτι ἐφ' ὅσα ἡ δύναμις αὐτοῦ ἐκτείνεται, καὶ ἡ ἐπιστήμη. Ἡ δὲ ποιητικὴ δύναμις οὐ μόνον ἐπὶ εἴδη καὶ τὰ καθόλου, ἀλλὰ καὶ ἐπὶ τὴν ὕλην ἐκτείνεται τῷ Θεῷ, καθόσον ἐστὶν ὁμοιότης πάντων· διὰ δὲ τὴν ὕλην τὰ μερικά.

12. Ὅτι γινώσκει τὰ ἄπειρα, ὅτι τῶν ἀπείρων αὐτός ἐστιν αἴτιος, καὶ ὅτι ἄπειρον αὐτοῦ ὡς τὸ εἶναι καὶ τὸ νοεῖν, καὶ διὰ τοῦτο τῷ νοεῖν περιλαμβάνει τὰ ἄπειρα.

14. Ὅτι γινώσκει τὰ ἀποφαντικά, οὐ πλάττων οὐδὲ συντιθεὶς ὡς ἡμεῖς· οὐ γάρ ἐστιν ἐν τῷ θείῳ νῷ σύνθεσις καὶ διαίρεσις· ἀλλ' ἁπλῶς οἶδε τὰ σύνθετα, ὡς ἀΰλως τὰ ὑλικά.

15. Ὡσαύτως οἶδε καὶ τὰ μεταβλητὰ ἀμεταβλήτως· ἀμετάβλητος γὰρ αὐτῷ ἡ ἐπιστήμη ὡς καὶ ἡ φύσις, ἐπεὶ ταὐτόν ἐστιν αὐτῷ ἡ οὐσία καὶ ἡ ἐπιστήμη τῷ πράγματι.

16. Ὅτι ὁ Θεὸς περὶ ἑαυτοῦ μὲν θεωρητικὴν μόνον ἐπιστήμην ἔχει, περὶ δὲ τῶν ἄλλων θεωρητικὴν ὡς πάντα ἀδιαιρέτως εἰδώς, καὶ πρακτικὴν ὡς πάντα ποιῶν. Τὰ μέντοι φαῦλα, εἰ καὶ μὴ γίνεται ἀπ' αὐτοῦ, ἀλλὰ τῇ θεωρητικῇ αὐτοῦ ὑποπίπτει γνώσει, ὡς εἴρηται πρότερον· ἔτι δὲ καὶ τῇ πρακτικῇ, οὐδὲν ἧττον ἢ τἀγαθά, καθόσον συγχωρεῖ, ἢ κωλύει, ἢ τάττει ἐκεῖνα, ὡς καὶ αἱ νόσοι, τῇ πρακτικῇ ἐπιστήμῃ τοῦ ἰατροῦ, καθόσον αὐτὰς θεραπεύει.

Τριχῶς δὲ ἡ θεωρητικὴ ἐπιστήμη, ὅσον πρὸς τὰ ἐπιστητά, εἰ μὴ εἴη πρακτὰ ὅλως, θεωρητὰ δὲ μόνον, ὡς τὰ φυσικὰ ἢ τὰ θεῖα· καὶ ὅσον πρὸς τὸν τοῦ ἐπίστασθαι τρόπον, ὡς ὁ τεχνίτης θεωρεῖ τὰ τεχνητὰ κατὰ ἀνάλυσιν τοῦ συνθέτου εἰς τὰς καθόλου εἰδικὰς ἀρχάς, καὶ οὐ κατὰ τὴν εἰσαγωγὴν τοῦ εἴδους εἰς τὴν ὕλην· καὶ | ὅσον πρὸς τὸ τέλος, ᾧ διαφέρει f. 200v ὁ πρακτικὸς νοῦς τοῦ θεωρητικοῦ· τοῦ μὲν γὰρ τέλος, ἡ ἀλήθεια· τοῦ δέ, ἡ ἀρχὴ τῆς πράξεως.

## XV. — Περὶ ἰδεῶν.

1. Ὅτι ἀνάγκη ἐν τῷ θείῳ νῷ τιθέναι ἰδέας. Ἰδέα γάρ ἐστιν ὁμοιότης τοῦ φύσει γινομένου, ὡς ἄνθρωπος ἄνθρωπον γεννᾷ, καὶ πῦρ, πῦρ· ἢ τοῦ τέχνῃ γινομένου, ὡς ἐν τοῖς διὰ νοῦ ποιοῦσιν.

2. Ἐπεὶ τοίνυν ὁ κόσμος οὐκ ἀπὸ τύχης, ἀλλ' ὑπὸ Θεοῦ διὰ νοῦ ἐνεργοῦντος παρήχθη, ἀνάγκη εἶναί τι εἶδος ἐν τῷ θείῳ νῷ, οὗ πρὸς ὁμοιότητα γέγονεν ὁ κόσμος· καὶ οὐ μόνον τὴν τοῦ παντὸς ἰδέαν, ἀλλὰ καὶ τοὺς ἰδίους πάντων λόγους, ὅπερ οὐ μάχεται τῇ θείᾳ ἁπλότητι. Οὐ γὰρ ὥσπερ εἶδος ᾧ νοεῖται τὸ νοούμενον, ἔστιν ἑκάστου ἰδέα ἐν τῷ θείῳ νῷ, ἀλλ' ὡς τὸ νοούμενον. Αὐτὸς γὰρ τὴν ἑαυτοῦ οὐσίαν τελείως γινώσκει καθόσον ἐστὶ γνωστή, τουτέστιν οὐ μόνον καθὸ ἔστιν ἐν αὐτῷ, ἀλλὰ καὶ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006